ἀνδρὸς ἐν παντὶ παιδείας εἴδει, καὶ μάλιστα ἐν τῇ παραλλήλῳ ἀναθεωρήσει ἱερᾶς τε καὶ ἀορίστου ἀρχαιολογίας.

Κάρωλος ὁ πρωτότοκος υἱὸς τῆς αὐτοῦ ὑψηλότητος, ἀξιάγαστος μιμητὴς τῶν προγονικῶν ἀρετῶν, καὶ ἐν νεαρᾷ τῇ ἡλικίᾳ παντοδαπῇ μαθήσει κοσμούμενος, ὃς νύκτωρ τε καὶ μεθ' ἡμέραν προσκείμενος τοῖς ἐξαιρέτοις τῶν βιβλίων, πολύχουν ἀπομάττεται παιδείας θησαυρόν· «Ἀμέραι δ' ἐπίλοιποι μάρτυρες σοφώτατοι», φησὶν ὁ Πίνδαρος.

Καλλίνικος ἐκ νήσου Νάξου μιᾶς τῶν Κυκλάδων, μητροπολίτης Ἡρακλείας, ἀνὴρ ἐλλόγιμος καὶ πολυμαθής, εἰδήμων τῆς ἑλληνικῆς γλώσσης, πεπαιδευμένος τήν τε θύραθεν φιλοσοφίαν καὶ τὴν ἱερὰν θεολογίαν, οὐ διαλείπει μελετῶν φιλοπόνως τὰς βίβλους τῶν ἁγίων πατέρων τῆς ἐκκλησίας, καὶ κηρύττων ἀποστολικῶς τὸν εὐαγγελικὸν λόγον· ἐσχολάρχησεν οὗτος ἐν Κωνσταντινουπόλει, πρὶν εἰς τὸ ἀρχιερατικὸν προβιβασθῆναι ἀξίωμα.

Ἀθανάσιος ἐξ Ἀδριανουπόλεως, μητροπολίτης Ἀδριανουπόλεως, ἀνὴρ εἰδήμων τῆς ἑλληνικῆς γλώσσης, καὶ τῆς ἐκκλησιαστικῆς παιδείας, ἀκολουθίας, καὶ τάξεως ἔμπειρος· σπουδάζει καὶ μελετᾷ μετὰ φιλοπονίας πολλῆς τὰς θείας καὶ ἱερὰς γραφάς, κηρύττει καὶ ἀναπτύσσει τὸν εὐαγγελικὸν λόγον μετὰ πολλοῦ ζήλου καὶ ἀγάπης.

Διονύσιος Λέσβιος, μητροπολίτης Ἀμασείας, ἀνὴρ εἰδήμων τῆς ἑλληνικῆς γλώσσης, καὶ τῆς ἐκκλησιαστικῆς παιδείας, ἀκολουθίας, καὶ τάξεως ἔμπειρος· σπουδάζει καὶ μελετᾷ μετὰ φιλοπονίας πολλῆς τὰς θείας καὶ ἱερὰς γραφάς, κηρύττει καὶ ἀναπτύσσει τὸν εὐαγγελικὸν λόγον μετὰ πολλοῦ ζήλου καὶ ἀγάπης.

Ἰγνάτιος Λέσβιος, ὁ μητροπολίτης Ῥόδου, ἀνὴρ εἰδήμων τῆς ἑλληνικῆς γλώσσης, καὶ τῆς ἐκκλησιαστικῆς παιδείας, ἀκολουθίας, καὶ τάξεως ἔμπειρος· σπουδάζει καὶ μελετᾷ μετὰ πολ-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ